Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ephesini Concilii Generalis Pars I. Et II. Sub Cælestino papa I. anno CCCCXXXI.

Parisiis, 1644

Amphilochii episcopi Iconii, ex libro de generatione Domini secundum carnem.

urn:nbn:de:hbz:466:1-15062

Visual Library

que ſanctorum epiſcoporum ſententias, quibus idem docere propoſitum eſt, neutiquam hic omittendas eſſe.

*Attici epiſcopi.*

HODIE Chriſtus Dominus benignitatis erga homines natiuitatẽ ſuſcepit: diuinæ quippe dignitatis natiuitate præexiſtebat. Addit his rurſum: Benignitatis Verbum, cum ſuapte natura exinanitionis capax non eſſet, exinanitur. ſeruili enim forma ſuſcepta ſemetipſum exinaniuit. Qui expers erat carnis, carne
Ioan. I. v. 14. induitur, *Verbum caro factum eſt.* Qui ob naturam corporis expertem ſub tactum non veniebat, palpabilis efficitur. Qui principium neſciebat, ſecundum corpus initium ſortitur. Qui abſolute perfectus erat, incrementa ſumit. Qui conuerti non poteſt, proficit. Qui diues eſt, in diuerſorio gignitur. Qui cælum nubibus tegit, faſciis inuoluitur. Qui Rex eſt, in præſepio deponitur.

*Antiochi epiſcopi.*

QVEM heſterno die pro noſtra ſalute immaculato puerperio genitrix vitæ, mater pulcritudinis, magnificentiæ luciſque parens, ſpei apportatrix, Deipara, quæ nouo peperit modo, virgo & mater peperit Maria.

*Amphilochii epiſcopi Iconii, ex libro de generatione Domini ſecundum carnem.*

VERITAS cognita eſt, gratia venit, vita apparuit. Dei Verbum, Deique Filius propter nos incarnatus eſt, quo nimirum mortales a morte ad vitam æternam reuocaret. Vniuerſorũ opi-

ἐπισκόπων παραθεῖναι φωνάς, τὸν αὐτὸν ἐχούσας σκοπόν.

Ἀττικοῦ ἐπισκόπου.

ΣΗΜΕΡΟΝ Χριστὸς ὁ δεσπότης τὴν τῆς φιλανθρωπίας γέννησιν ἀνεδέξατο· τὴν γὰρ τῆς θεϊκῆς ἀξίας προϋπῆρχεν. εἶτα τούτοις ἐπιφέρει πάλιν· ὁ τῆς φιλανθρωπίας λόγος κενοῦται, ἀκένωτος τὴν φύσιν τυγχάνων· ἑαυτὸν γὰρ ἐκένωσε, μορφὴν δούλου λαβών. ὁ ἄσαρκος σαρκοῦται, ὁ λόγος σὰρξ ἐγένετο. ὁ ἀφῇ μὴ ὑποπίπτων διὰ τὸ τῆς φύσεως ἀσώματον, ψηλαφᾶται. ὁ ἄναρχος ὑπὸ ἀρχὴν γίνεται σωματικήν. ὁ τέλειος αὔξει, ὁ ἄτρεπτος προκόπτει, ὁ πλούσιος ἐν καταλύματι τίκτεται. ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις, σπαργανοῦται· ὁ βασιλεὺς ἐν φάτνῃ κατατίθεται.

Ἀντιόχου ἐπισκόπου.

ΟΝ χθὲς ἀχράντοις λοχείαις σωτῆρα ἡμῖν ἡ ζωοτόκος, ἡ καλλιτόκος, ἡ μεγαλοτόκος, ἡ φαεσφόρος, ἡ ἐλπιδοφόρος, ἡ θεοτόκος, ἡ ξενοτόκος, ἡ παρθενομήτωρ ὤδινε Μαρία.

Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου, ἐκ τοῦ περὶ τῆς κατὰ σάρκα γεννήσεως.

Η ἀλήθεια ἐγνώσθη, ἡ χάρις ἦλθε, καὶ ἡ ζωὴ ἐφάνη. ὁ τοῦ θεοῦ ὢν υἱός, ὁ ἐκ θεοῦ λόγος, σὰρξ ἐγένετο δι' ἡμᾶς, ἵνα θνητοὺς εἰς ζωὴν αἰώνιον ἀναστήσῃ, καὶ ἐκ τῶν νεκρῶν

Anno Christi 431.

ἀνεγείρῃ. ὁ ποιητὴς τῶν ὅλων, ὁ πρὸ πάσης κτίσεως ὁρατῆς τε καὶ ἀοράτων, μόνῳ πατρὶ καὶ πνεύματι συνυπάρχων ἀθάνατος, σήμερον ἰδοὺ ἡμῖν ἐκ παρθένου γεννώμενος, χωρὶς πάσης ἁμαρτίας, ἄνευ ἀνθρώπου, ἤτοι ἀνδρός.

Ἀμμώνος ἐπισκόπου Ἀδριανουπόλεως.

Ἔφη γάρ που καὶ αὐτὸς περὶ τοῦ θεοῦ λόγου.

Εἰ δὲ αὐτὸς θεὸς τὴν φύσιν ὑπάρχων, ὡς τοῦ θεοῦ μονογενὴς υἱός, ἐν προσλήψει τῆς δούλου μορφῆς γενόμενος, καὶ πρωτότοκος υἱὸς τῆς ἁγίας παρθένου κληθῆναι καταξιώσας, ἀντίλυτρον ἑαυτὸν ὑπὲρ πάντων δέδωκε. προσεπάγει δὲ τούτοις· ἤδη μὲν ἔδειξα τὴν ἀσέβειαν, ᾗ περιπίπτουσιν οἱ ἀρειανοί, λέγοντες χρείαν ἐσχηκέναι τὴν θεοτόκον Μαρίαν τῶν κατὰ τὸν νόμον τότε προσφερομένων θυσιῶν ὑπὲρ τῶν λεχουσῶν γυναικῶν.

Ἰωάννου ἐπισκόπου Κωνσταντινουπόλεως, περὶ τῆς θείας γεννήσεως.

Φησὶ δὲ περὶ τῆς ἁγίας παρθένου.

Ἀντὶ δὲ ἡλίου, φησὶ, τὸν ἥλιον τῆς δικαιοσύνης ἀπεριγράπτως χωρήσασα. καὶ μὴ ζητήσῃς πῶς· ὅπου γὰρ βούλεται θεὸς, νικᾶται φύσεως τάξις. ἠβουλήθη γὰρ, ἠδυνήθη, κατῆλθεν, ἔσωσε. σύνδρομα πάντα θεῷ. σήμερον ὁ ὢν τίκτεται, καὶ ὁ ὢν γίνεται ὅπερ οὐκ ἦν. ὢν γὰρ θεὸς, γίνεται ἄνθρωπος, οὐκ ἐκστὰς τοῦ εἶναι θεός. οὔτε γὰρ κατ' ἔκστασιν θεότητος γέγονεν ἄνθρωπος, οὔτε κατὰ προκοπὴν ἐξ ἀνθρώπου γέγονε θεός· ἀλλὰ

fex, qui ante omnem creaturam tam visibilem quam inuisibilem soli Patri & Spiritui sancto coexistebat immortalis, ecce is citra vllum peccatum, vllamque hominis aut viri operam, hodie nobis ex Virgine nascitur.

## Ammonis episcopi Adrianopoleos.

*Sic enim ipse ait de Deo Verbo.*

QUOD si is, qui Deus secundum naturam est, vtpote vnigenitus Dei Filius, seruili forma assumpta, sacræque Virginis primogenitus appellari non dedignatus, semetipsum redemptionem pro omnibus tradidit. Addit præterea: Clare patet, in quantam impietatem prolabantur Ariani, qui Deiparam Mariam iis sacrificiis, quæ pro puerperis ex lege offerri mos erat, opus habuisse asserunt.

## Ioannis episcopi Constantinopoleos, de diuina generatione.

*Dicit autem de sancta Virgine.*

LOCO solis, ait, incircumscripte iustitiæ solem complexa fuit. neque hic quæsieris quomodo hoc factum sit, aut fieri potuerit. Vbi enim Deus vult, ibi naturæ ordo cedit. Voluit, potuit, descendit, saluauit. omnia Dei nutum sequuntur. Hodie qui est, gignitur; & rursum qui est, fit id quod non erat: nam cum Deus esset, fit homo; ab ea tamen quam habebat deitate non excidit; nec cum deitatis iactura factus est homo, neque rursum per succedentia incrementa ex homi-